σμασιν.] ἐν φύσκαις ῥηγνυμέναις καὶ ἦχόν τινα ἀποτελού-
A σαις. ἢ ἐν ταῖς δίναις τῶν ὑδάτων. πομφόλυγες γὰρ αἱ φλυκταινώδεις δῖναι. τοῦτο δέ φησιν ἐπειδὴ τῶν ἐξ ὑετοῦ σταγόνων πιπτουσῶν ἐν τῷ πηγῶν ἢ λιμνῶν ὕδατι πομφόλυγες ἤτοι φύσκαι ὑπαὶ ἅμεναι, αὐτίκα διαφθειρόμεναι ἦχον ἀποτελοῦσί τινα.

---

BISETVS. Ἔκθεσις ἀμοιβαία τῶν μελῶν, ἣ τρισὶ διαιρεῖται περιόδοις. ἡ δὲ πρώτη ἔχει κῶλα πέντε.

Δι. Τουτὶ παρ' ὑμῶν λαμβάνω.
Χο. Δεινά γ' ἄρα πεισόμεσθα.
Δι. Δεινότερα δ' ἔγωγ' ἐλαύνων,
B Εἰ διαρραγήσομαι.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Οἰμώζετ' οὐ γάρ μοι μέλει.
Χο. Ἀλλὰ μὴν κεκραξόμεσθα
Γ' ὁπόσον ἡ φάρυγξ ἂν ἡμῶν
Χανδάνῃ δι' ἡμέρας,
Βρεκεκεκὲξ κοὰξ, κοάξ.
Δι. Τούτῳ γὰρ οὐ νικήσετε.
C Χο. Οὐδὲ μὴν ἡμᾶς σὺ πάντως.
Δι. Οὐδὲ μὴν ὑμεῖς γε δήμε
Οὐδέποτε, κεκράξομαι γὰρ,
Κἄν με δέῃ δι' ἡμέρας,
Ἕως ἂν ὑμῶν ἐπικρατήσω τῷ κοάξ.
Χο. Βρεκεκεκὲξ, κοὰξ, κοάξ.
Δι. Ἔμελλον ἄρα παύσειν ποθ' ὑμᾶς τοῦ κοάξ.
Χα. Ὦ παῦε παῦε, παραβαλοῦ τῷ κωπίῳ.
D Ἔκβαιν', ἀπόδος τὸν ναῦλον. Δι. ἔχε δὴ τὼ 'βολώ.

*BA. Isthuc à vobis aufero.*
*CH. Ergo mala sufferemus.*
*BA. Imò ego mala sufferam, si*
*Rumpar vsque remigans.*
*CH. Brekekekex, coax, coax.*
*BA. Perite: nil curæ est mihi.*
*CH. At clamabimus sonando,*
*Vtique quantum sustinebit*
*Nostra faux totos dies,*
*Brekekekex, coax, coax.*
*BA. At hoc me non superabitis.*
*CH. Sed neque tu nos vniuersos.*
*BA. Hoc vos vsque me vincitis.*
*Vociferabor, etsi totos*
*Me dies oporteat*
*Clamare: donec istud reprimam coax.*
*CH. Brekekekex, coax, coax.*
*BA. Eram vel tandem vestrum inhibiturus coax.*
*CH. Quiesce nunc, quiesce: & remum proyce:*
*Egredere, & solue naulum. BA. en obolos cape duos.*

Σχόλια. Τουτὶ παρ' ὑμῶν.] ἡ ἀμοιβαία αὕτη ἔκθεσις τῶν μελῶν τρισὶ διαιρεῖται περιόδοις. καὶ εἰσὶ τῆς μὲν πρώτης περιόδου κῶλα πέντε. ὧν τὸ μὲν πρῶτον δίμετρον ἀκατάληκτον, καθαρὸν ἰαμβικόν. τὸ δεύτερον τροχαϊκὸν δίμετρον ὅμοιον. τὸ τρίτον ὅμοιον τοῦ δευτέρου τρίβραχυν ἔχοντος ἢ χορεῖον. τὸ δ'. ὅμοιον ἐφθημιμερές. τὸ τελευταῖον δῆλον. τὸ δὲ ἑξῆς τὸ λέγειν βρεκεκεκὲξ, παρ' ὑμῶν ἔμαθον. Δεινά γ' ἄρα πεισόμεθα.] πάθοιμεν ἂν ἐκ τῆς
E βοῆς δηλονότι τούτων παρατεινόμενοι, ἐφ' ὅσον οἷοί τε ὦμεν. Οἰμώζετ' οὐ γάρ μοι μέλει.] τῆς δευτέρας περιόδου τὰ κῶλα ὁμοίως πέντε τοῖς ἄνω καθ' ἕκαστον ὁμοίως ἔχοντα. ὁ μέντοι πρῶτος τοῦ τρίτου κώλου πούς τρίβραχύς ἐστι. δεῖ δὲ νοεῖν ὡς οἱ βάτραχοι ὑπὸ σκηνὴν εἰσιν. ἀλλ' οὐκ ἐν τῷ φανερῷ. ἡ μέντοι φωνὴ αὐτῶν ἐξακούεται ὥσπερ καὶ αὐτοὶ κατὰ λίμνην ἠχοῦσιν ἐπεὶ οὖν διαλελοίπασι καὶ χορὸς ἐγένετο, διὰ τοῦτο λόγον ἐποίησεν ὁ Διόνυσος λέγων, ἔμελλον ἄρα ὑμᾶς παύσειν. θηλυκῶς δὲ τὴν φάρυγγα λέγει. Οὐ νικήσετε.] τῆς τρίτης περιόδου τὰ κῶλα ὀκτώ. ὧν τὰ μὲν
F πέντε ὅμοια πάντως τοῖς ἄνω πλὴν τοῦ τετάρτου τοῦ δεύτερον πόδα τρίβραχυν ἔχοντος. τὸ δὲ ἕκτον καὶ ὄγδοον ἰαμβικὰ τρίμετρα ἀκατάληκτα. τὸ γὰρ ἕβδομον δῆλον. ἐπὶ τῷ τέλει κορωνίς. Ἔμελλον ἄρα.] σιωπῶσι λοιπὸν οἱ βάτραχοι. καὶ ἕτερος εἰσέρχεται χορὸς ὡς προείπομεν ὁ τῶν μυστῶν. ὃς ἐστὶν ἀναγκαῖος. Ὦ παῦε παῦε.] κορωνὶς ἀμοιβαία εἰσιόντων τῶν ὑποκειμένων. οἱ δὲ στίχοι ἰαμβικοὶ τρίμετροι ἀκατάληκτοι μϛ. ὧν τελευταῖος, ἀλλ' ἠρεμεὶ πτήξαντες ἀκροασώμεθα. μετὰ δὲ τὸν μβ. κῶλον ἰαμβικὸν ἐφθημιμερὲς τὸ, αὐλεῖ τις ἔνδον. ὁ καὶ παρεπιγραφὴν φασι κεῖσθαι. ὡς καὶ ἑξῆς τὸ διαύλιον προσαυλεῖ. ἐπὶ τῷ τέλει κορωνίς. Ἀπόδος τὸν ναῦλον.] Καλλίστρατος ὅτι τὸν ναῦλον ἀρσενικῶς. ἀλλ' οὐχὶ τὸ ναῦλον εἰώθασι λέγειν. διασώζεται δὲ καὶ ἔν τισιν ἡ γραφή. καὶ ὅτι παρὰ τοῖς νεωτέροις καὶ ἡ ναῦλος ἡμῖν τῆς νεὼς ὀφείλεται. οὐ μόνον δὲ ἀρσενικῶς ἀλλὰ καὶ ἐν τοῖς δύο λέγεται λλ, ναῦλλος καὶ ναῦλλον. Ἔχε δή.] ἀντὶ τοῦ κράτει. ἐν ἀδήλῳ λοιπὸν τὰ πράγματα.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΠΡΩΤΟΥ
### Σκηνὴ ἕκτη.
### ΔΙΟΝΥΣΟΣ, ΞΑΝΘΙΑΣ, ΙΕΡΕΥΣ.

## ACTVS I. SCENA VI.
### BACCHVS, XANTHIAS, SACERDOS.

BISETVS. Διόνυσος τὴν στυγίαν λίμνην ὑπὸ τοῦ Χάρωνος διαπεραιωθεὶς, ποικίλοις καὶ δεινοῖς ἐν Ἅδου θηρίοις ἐντυχὼν ἐκπλήττεται, καὶ τοῖς Ξανθίου λόγοις
G χολῇ, καὶ μόγις θαρρυνθεὶς, εἰς τοὺς τῶν μακάρων χώρους μετὰ δούλου τέλος ἀφικνεῖται.

Ὦ Ξανθίας, ποῦ Ξανθίας; ἢ Ξανθίας;
Ξα. Ἰαῦ. Δι. βάδιζε δεῦρο. Ξα. χαῖρε ὦ δέσποτα.

*HEm Xanthia, vbinam Xanthia? eho Xanthia?*
*(uus sies here.*
*XA. Hau. BAC. accede huc Xanthia. XA. sal-*

BISETVS.